Περὶ οἰνοφλυγίας Βυζαντίων.

Αἰλιανοῦ
Ποικ. ἱσ.
Βιβ. 3
Σελ. 36.

Βυζαντίους δέ, δεινῶς οἰνόφλυγας ὄντας, ἐνοικεῖν τοῖς καπηλείοις λόγος ἔχει, τῶν οἰκιῶν τῶν ἰδίων καὶ τῶν δωματίων ἐξοικισθέντας, καὶ τοῖς ξένοις τοῖς ἐπιδημοῦσι τῇ πόλει ἀπομισθώσαντας αὐτά, καὶ οὐ μόνον ἐκείνων, ἀλλὰ καὶ τῶν γυναικῶν αὐτοῖς ἀποστάντας, ὡς ἐν ταὐτῷ τοὺς Βυζαντίους διττὴν αἰτίαν φέρεσθαι, καὶ οἰνοφλυγίας, καὶ προαγωγείας. Ἅτε δὲ ὑπὸ τῆς μέθης καὶ τοῦ οἴνου διαρρέοντας, αὐλοῦ μὲν ἀκούοντες χαίρουσι, καὶ τὸ ἔργον αὐτοῖς αὐλεῖσθαί ἐστι· σάλπιγγα δὲ οὐδὲ ἀρχὴν ἀνέχονται. Καὶ ἐκ τούτων ἔξεστι νοεῖν, ὅτι καὶ πρὸς ὅπλα, καὶ πρὸς πολέμους ἀλλοτριώτατα διάκεινται Βυζάντιοι. Διὰ ταῦτά τοι καὶ Λεωνίδης ὁ στρατηγὸς αὐτῶν ἐν πολιορκίᾳ ἰσχυρᾷ, ἐπεί, τῶν πολεμίων τοῖς τείχεσι προσβαλόντων, ἐκεῖνοί γε τὰς φρουρὰς ἐκλιπόντες διημέρευον ἐν ταῖς συνήθεσι διατριβαῖς, προσέταξε τὰ καπηλεῖα ἐπὶ τῶν τειχῶν διασκηνωθῆναι αὐτοῖς. Καὶ τοῦτο τὸ σόφισμα ἀνέπεισεν αὐτοὺς ὀψὲ καὶ βραδέως τὴν τάξιν μὴ καταλιπεῖν, ἅτε τῆς προφάσεως αὐτοῖς περιῃρημένης. Λέγει δὲ ταῦτα ὑπὲρ αὐτῶν Δάμων. Ὁμολογεῖν δὲ τούτοις ἔοικε καὶ ὁ Μένανδρος, ὅταν λέγῃ, ... Μεθύσους τοὺς ἐμπόρους
Ποιεῖ τὸ Βυζάντιον. ὅλην ἐπίνομεν
Τὴν νύκτα . . . . . .

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Βυζάντιοι (μέθυσοι)

« D'autre part, dans un fragment de Diphile, un cuisinier parle avec quelque dedain des gens du [illegible], Rhodiens par exemple ou Byzantins, qui n'ont pas le palais délicat des Attiques.(2); le Perinthien invité à diner par un Rhodien qui chez Lyncée, fait le procès des petits plats » d'Athènes (3) était peut-être aussi un ἔμπορος; dans l'Ἀρρηφόρος de Menandre, un personnage déclarait que le séjour de Byzance fait de tous les ἔμποροι des ivrognes (4)

(2) Diphile fr. 17. (3) Lyncée fr. 1.
(4) Menandre fr. 67.

Μενάνδρου ἀποσπάσματα 67. Revue des Et. Grecques 1907 p. 88 σημ. 2. Les dialogues des courtisanes comparés avec la comédie. par Legrand (Ph. E.)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ